UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Sōkratus Scholastiku Kai Ermeiu Sozomenu Ekklēsiastikē Istoria

Socrates <Scholasticus>

Mogvntiae, 1677

Caput XXI. De inventione capitis Ioannis Baptistae & Praecursoris: & de his, quae circa illud facta sunt.

urn:nbn:de:hbz:466:1-14233

Visual Library

A ἐκχυθεὶς, καὶ τοῖς ὑψηλοτέροις ἐπαφῆκε τὰ ῥεύματα· ἐπεὶ δὲ πρὸς τὸ τελειότατον καὶ ἀπανίως πληρούμενον μέτρον ἔφθασεν, οὐδὲν δὲ ἧττον ἐκορυφοῦτο τὸ ὕδωρ, εἰς ἐναντίον φόβον περιέστησαν οἱ αἰγύπτιοι καὶ δέος ἦν, μὴ καὶ τὴν ἀλεξάνδρου πόλιν, καὶ λιβύης μέρος οὖσαν κατακλύσῃ· ἡνίκα δὴ λέγεται, τοὺς ἑλληνιστὰς ἀλεξανδρέων ἀγανακτοῦντας πρὸς τὸ συμβὰν παρὰ γνώμην, ἐπιτωθάσαι καὶ ἐν τοῖς θεάτροις ἀναβοῆσαι, ὡς οἷα γέρων καὶ ληρὸς, ἐξούρησεν ὁ ποταμός· ἐκ τούτου δὲ πλεῖστοι αἰγυπτίων, τῆς πατρῴας δεισιδαιμονίας κατέγνωσαν, καὶ εἰς χριστιανισμὸν μετεβάλοντο. καὶ τὰ μὲν, ὡς ἐπυθόμην.

A effusus, superiora quoque loca aquis suis operuit. Cumque ad summam, & quæ raro impleri solet, mensuram pervenisset, & adhuc tamen aqua intumesceret, in contrarium metum inciderunt Ægyptij. Timebantque ne urbs Alexandria, & Libyæ pars, aquis obrueretur. Tum vero ajunt Paganos qui erant Alexandriæ, moleste ferentes id quod acciderat, per jocum in theatris exclamasse, quod Nilus tanquam senex ac delirus, eminxisset. Hanc ob causam plurimi Ægyptiorum, patriam superstitionem damnantes, ad Christianam religionem se transtulerunt. Atque hæc quidem ita gesta esse accepi.

B

## Κεφ. κα'.

*Περὶ τῆς εὑρέσεως τῆς τιμίας κεφαλῆς τοῦ προδρόμου, καὶ ὅσα δι' αὐτὴν ἐγένοντο.*

ὙΠὸ δὲ τοῦτον τὸν χρόνον διεκομίσθη εἰς κωνσταντινούπολιν ἡ Ἰωάννου τοῦ βαπτιστοῦ κεφαλὴ, ἣν ἡρωδιὰς ᾐτήσατο παρὰ ἡρώδου τοῦ τετράρχου. λέγεται δὲ εὑρεθῆναι παρὰ ἀνδράσι μοναχοῖς τῆς μακεδονίου αἱρέσεως· οἳ τὰ μὲν πρῶτα ἐν ἱεροσολύμοις διέτριβον· ὕστερον δὲ εἰς κιλικίαν μετῳκίσθησαν· ἐπὶ δὲ τῆς πρὸ ταύτης ἡγεμονίας, μαρδονίου μηνύσαντος, C ὃς τῆς βασιλικῆς οἰκίας μείζων ἦν εὐνοῦχος, προσέταξεν οὐάλης εἰς κωνσταντινούπολιν αὐτὴν κομισθῆναι· καὶ οἱ μὲν ἐπὶ τοῦτο ἀποσταλέντες, ἐπιθέντες ὀχήματι δημοσίῳ ἦγον· ὡς δὲ εἰς τὸ παντείχιον ἧκον, χωρίον δὲ τοῦτο χαλκηδόνος, οὐκέτι προσωτέρω βαδίζειν ἠνείχοντο αἱ τὸ ὄχημα καθέλκουσαι ἡμίονοι· καὶ ταῦτα τῶν ἱπποκόμων ἐπαπειλούντων, καὶ τοῦ ἡνιόχου χαλεπῶς τῇ μάστιγι κεντοῦντος· ὡς δὲ οὐδὲν ἤνυον, ἐδόκει δὲ πᾶσι καὶ αὐτῷ τῷ βασιλεῖ παράδοξον εἶναι καὶ θεῖον τὸ πρᾶγμα, ἀπέθεντο ταύτην τὴν ἱερὰν κεφαλὴν ἐν τῇ κοσιλάου κώμῃ· D ἔτυχε γὰρ ἐκ γειτόνων οὖσα, καὶ μαρδονίου τούτου κτῆμα. περὶ δὲ τοῦτον τὸν χρόνον, ἢ τοῦ Θεοῦ, ἢ αὐτοῦ τοῦ προφήτου κινοῦντος, ἧκεν εἰς τήνδε τὴν κώμην θεοδόσιος ὁ βασιλεὺς· βουλόμενός τε τοῦ βαπτιστοῦ τὸ λείψανον λαβεῖν, μόνην φασὶν ἀντειπεῖν ματρῶναν· ἣ παρθένος μὲν ἦν ἱερά· εἵπετο δὲ αὐτῇ διάκονος

## Caput XXI.

*De inventione capitis Ioannis Baptistæ & Præcursoris: & de his, quæ circa illud facta sunt.*

SUb idem tempus, translatum fuit Constantinopolim Ioannis Baptistæ caput, quod Herodias ab Herode Tetrarcha olim petierat. Inventum autem id esse dicitur apud monachos quosdam ex secta Macedonianorum: qui prius quidem Hierosolymis morati fuerant; postea vero in Ciliciam migraverant. Præcedentis autem Imperatoris temporibus, cum Mardonius Eunuchus, Præpositus Imperialis palatii rem detulisset, jusserat Valens, ut id caput Constantinopolim deportaretur. Et ii quidem qui ad hoc missi fuerant, caput illud publico vehiculo impositum transferre cœperunt. Sed cum venissent Panrichium, qui locus est in agro Chalcedonensium, mulæ quæ vehiculum trahebant, ulterius progredi detrectarunt: idque licet equisones minas ipsis intentarent, & auriga flagello graviter eas cæderet. Qui cum nihil proficerent, & cunctis, ipsique adeo Imperatori ea res stupenda ac prorsus divina videretur, in vico Cosilai sacrum illud caput deposuerunt. Erat enim hic vicus in proximo, & ad supradictum Mardonium pertinebat. Porro circa hoc tempus, sive Dei sive Prophetæ ipsius impulsu, Imperator Theodosius ad eum locum perrexit. Cumque Baptistæ reliquias inde auferre vellet, sola, ut ajunt, ei restitit Matrona; quæ sacrata quidem virgo erat: cæterum caput illud tanquam ministra & custos

comitabatur. Cum igitur illa omni vi- A rium nisu obstaret, Imperator nequaquam eam cogendam esse censuit: sed precibus contendebat, ut reliquias tolli permitteret. Quod cum illa vix tandem concessisset, irritum fore Imperatoris conatum arbitrata, ex eo quod Valentis temporibus acciderat; Imperator loculum in quo conditæ erant reliquiæ, purpurea veste qua indutus erat, involvens, secum detulit. Reversusque, in suburbano urbis Constantinopolitanæ, quod septimum dicitur, deposuit; amplissima illic & pulcherrima basilica in honorem Dei constructa. Matronam vero quamvis diu multumque precatus, magnaque ei munera pollicitus esset, nunquam eò adducere potuit, ut sententiam mutaret. Erat enim ex secta Macedonianorum. Vincentius tamen Presbyter, qui ejusdem sectæ cum Matrona erat, & pari cum illa obsequio arcam Prophetæ servabat, & juxta illam missarum solennia celebrabat, illico subsecutus est. Et cum iis, qui erant ex Ecclesia Catholica, communicavit. Tametsi, sicut Macedoniani asserunt, jurejurando interposito antea affirmasset, nunquam se ab illorum opinione recessurum: ad extremum vero palam decrevisset, ut si Baptista Imperatorem sequi vellet, ipse quoque absque ulla dilatione cum illo communicaret. Erat hic origine Persa. Qui Constantii temporibus, cum persecutio adversus Christianos in Perside grassaretur, arreptâ fugâ, simul cum Adda consobrino, in Romanorum ditionem venerat. Et ipse quidem clero adscriptus, ad Presbyterij gradum conscendit. Addas vero, ductâ uxore, plurimùm profuit Ecclesiæ, relicto post se filio Auxentio, viro erga Deum fidelissimo, & ergo amicos promptissimo. Qui vita integer, & literarum studiosus, & multiplici tum Gentilium, tum Ecclesiasticorum Scriptorum cognitione fuit instructus. Idem moribus civilis ac moderatus, licet Imperatori & aulicis familiaris esset, & splendidum in palatio officium gereret. Et hujus quidem viri celebris fama est, tum apud præstantissimos monachos, tum apud pios ac religiosos homines, qui notitiam ejus habuerunt. Matrona vero usque ad exitum vitæ mansit in vico Cosilai.

A καὶ φύλαξ· ἀνθισταμένη δὲ παντὶ σθένει, βιάσασθαι οὐχ ἡγήσατο δεῖν· ἀναβολῶν δὲ, ἐδεῖτο συγχωρεῖν· ἐπεὶ δὲ μόλις εἶξεν, ἀνήνυτον εἶναι νομίσασα τῷ χρήζοντι τὴν ἐπιχείρησιν κατὰ τὸ συμβὰν ἐπὶ τῶν οὐάλεντος χρόνων, περιλαβὼν τῇ ἀλουργίδι τὴν θήκην ἐν ᾗ ἔκειτο, ἔχων ἐπανῆλθε· καὶ πρὸ τοῦ ἄστεος κωνσταντινουπόλεως ἔθετο ἐν τῷ καλουμένῳ ἑβδόμῳ· μέγιστον καὶ περικαλλέστατον τῷ Θεῷ ἐνθάδε ναὸν ἐγείρας· πολλὰ δὲ πολλάκις λιπαρήσας B ματρῶναν, καὶ κεχαρισμένα ὑπισχνούμενος, οὐκ ἔπεισε μεταθέσθαι τῆς δόξης· ἦν γὰρ τῆς μακεδονίου αἱρέσεως· καίτοιγε βικέντιος πρεσβύτερος, ὁμόδοξος ὢν αὐτῇ, καὶ τὴν σορὸν τοῦ προφήτου σὺν αὐτῇ θεραπεύων, καὶ περὶ ταύτην ἱερώμενος, ἠκολούθησεν αὐτίκα, καὶ τοῖς ἀπὸ τῆς καθόλου ἐκκλησίας ἐκοινώνησεν· ἀπώμοτον μὴν, ὡς λέγουσιν οἱ τὰ μακεδονίου φρονοῦντες, ποιησάμενος, μή ποτε μεταθήσεσθαι τῆς αὐτῶν δόξης· τὸ δὲ τελευταῖον εἰς τὸ προφανὲς ὁρίσας, ὡς εἰ ἕλοιτο ὁ βαπτιστὴς ἀκολουθῆσαι τῷ βασιλεῖ, καὶ αὐτὸς C κοινωνήσειν αὐτῷ, μηδὲν διαφερόμενος· ἐγένετο δὲ οὗτος πέρσης τὸ γένος· ἐπὶ δὲ τῆς κωνσταντίου βασιλείας διωγμοῦ καταλαβόντος τοὺς ἐν περσίδι χριστιανοὺς, φεύγων ἅμα ἀδδᾷ τῷ αὐτοῦ ἀνεψιῷ, εἰς ῥωμαίους ἦλθεν· ἀλλ' ὁ μὲν, κλήρῳ ἐγκατελέγη, καὶ εἰς πρεσβυτέρου προῆλθεν ἀξίαν· ἀδδᾶς δὲ γήμας, μέγιστα τὴν ἐκκλησίαν ὠφέλησε, καὶ παῖδα καταλιπὼν αὐξέντιον, ἄνδρα περὶ τὸ θεῖον πιστότατον, καὶ περὶ φίλους σπουδαῖον, D ἐμμελῆ δὲ τὸν βίον, καὶ φιλολόγον, καὶ πολυμαθῆ τῶν ἕλλησι καὶ τοῖς ἐκκλησιαστικοῖς συγγραφεῦσιν ἱστορημένων· μέτριον δὲ τὸ ἦθος, καίπερ βασιλεῖ καὶ τοῖς ἀμφ' αὐτὸν ἐπιτήδειον, καὶ λαμπρᾶς ἐπειλημμένον στρατείας· ἀλλὰ τοῦδε μὲν πολὺς ἐστι λόγος παρά τε εὐδοκιμωτάτοις μοναχοῖς καὶ σπουδαίοις ἀνδράσιν, οἵπερ αὐτοῦ ἐπειράθησαν· ἡ δὲ ματρῶνα, μέχρι τελευτῆς ἐν τῇ κοσιλάου κώμῃ διετρίβε

διεβίω δὲ ἱεροπρεπῶς μάλα καὶ σωφρόνως, ἱερῶν παρθένων ἡγουμένη· ὧν εἰσέτι νῦν πολλὰς περιεῖναι ἐπυθόμην, τῆς ὑπὸ ματρώναις παιδεύσεως ἄξιον φερούσας ἦθος.

## Κεφ. κβ΄.

Περὶ τῆς δι' ἀγχόνης τελευτῆς Οὐαλεντινιανοῦ τοῦ νέου βασιλέως ἐν Ῥώμῃ, καὶ περὶ τῆς τυραννίδος Εὐγενίου· καὶ περὶ τῆς προφητείας Ἰωάννου τοῦ ἐν Θηβαΐδι μοναχοῦ.

Καὶ ὁ μὲν Θεοδόσιος, ἐν εἰρήνῃ τὴν πρὸς ἕω ἀρχομένην ἰθύνων, ἐν τούτοις ἐσπούδαζε, καὶ ἐπιμελῶς μάλα τὸ θεῖον ἐθεράπευεν· ἐν τούτῳ δὲ ἀγγέλλεται Οὐαλεντινιανὸς ὁ βασιλεὺς ἀγχόνῃ ἀπολωλέναι· ἐλέγετο δὲ ταύτην αὐτῷ καττῦσαι τὴν τελευτὴν διὰ τῶν θαλαμηπόλων εὐνούχων, ἄλλους τέ τινας τῶν εἰς τὰ βασίλεια, καὶ Ἀρβογάστην τὸν ἐπὶ τῶν αὐτοῦ στρατευμάτων τεταγμένον· καθότι πατρῴζοντα τὸν νέον ἑώρων περὶ τὴν ἀρχήν, καὶ πρὸς πολλὰ τῶν ἐκείνοις δοκούντων χαλεπαίνοντα· οἱ δέ, αὐτὸν ἡγοῦνται αὐτόχειρα ἑαυτοῦ γενέσθαι, ὡς ἐπιχειροῦντα τισὶν οὐ δέον ἐν τῷ ζέοντι τῆς ἡλικίας, καὶ κωλυόμενον· καὶ τούτου χάριν, οὐ καταξιώσαντα ζῆν, ὅτι βασιλεύων, μὴ συγχωροῖτο ποιεῖν ἃ βούλεται· φασί γε μὴν τοῦτο τὸ μειράκιον εὐγενείᾳ σώματος, καί, βασιλικῶν τρόπων ἀρετῇ, ὑπερφυῶς δόξαι τῆς ἡγεμονίας ἄξιον, καὶ οἷος μεγαλόψυχος, καὶ δικαιοσύνῃ ὑπερβαλέσθαι τὸν αὐτοῦ πατέρα, εἰ παρῆλθεν εἰς ἄνδρας· καὶ ὁ μὲν τοιοῦτος ὤν, ὧδε τέθνηκεν· Εὐγένιος δέ τις οὐχ ὑγιῶς διακείμενος περὶ τὸ δόγμα τῶν Χριστιανῶν, ἐπιτίθεται τῇ ἀρχῇ, καὶ τὰ σύμβολα τῆς βασιλείας ἀμφιέννυται· ᾤετο δὲ τοῦ ἐπιχειρήματος ἀσφαλῶς κρατήσειν, ὑπαγόμενος λόγοις ἀνθρώπων εἰδέναι τὸ μέλλον ὑπισχνουμένων, σφαγίοις τισὶ καὶ ἡπατοσκοπίαις, καὶ καταλήψει ἀστέρων· ἐσπούδαζον δὲ περὶ ταῦτα ἄλλοι τε πολλοὶ τῶν ἐν τέλει Ῥωμαίων, καὶ Φλαβιανὸς ὁ τότε ὕπαρχος, ἀνὴρ ἐλλόγιμος, καὶ περὶ τὰ πολιτικὰ ἐχέφρων εἶναι δοκῶν· προσέτι δὲ καὶ τὰ μέλλοντα ἀκριβοῦν λογιζόμενος ἐπιστήμῃ παντοδαπῆς μαντείας· ταύτῃ γὰρ μάλιστα τὸν Εὐγένιον ἔπεισε

A Vixitque sancte admodum ac religiosè, sacrarum Virginum magistra: quarum plerasque adhuc superstites esse accepi, moribus Matronæ magisterio haudquaquam indignis conversantes.

## Caput XXII.

*De nece Imperatoris Valentiniani junioris, & de tyrannide Eugenii. Item, de prædictione Ioannis monachi in Thebaide.*

AC Theodosius quidem, cum Orientis Imperium pacate gubernaret, his rebus intentus erat, & Divinum numen sedulo venerabatur. Interea vero nuntius adfertur, B Imperatorem Valentinianum laqueo interiisse. Quo mortis genere per cubicularios Eunuchos extinctus fuisse dicebatur, instigantibus aulicis quibusdam, ac præcipue Arbogaste Magistro militiæ, eo quod illum in regendo Imperio, paternæ virtutis æmulatorē viderent; nec iis quæ ipsis placuerant acquiescentem. Alii dicunt, eum sibi ipsi manus intulisse, propterea quod cum in ætatis fervore, quædam præter jus & æquum aggrederetur, proximi ipsum prohiberent: atque idcirco eum ulterius vivere noluisse, quod cum Imperator esset, ea quæ volebat agere C nequaquam permitteretur. Fertur porro hunc adolescentem, ob decorem corporis, & ob regiam indolem ac virtutem, Imperio dignissimum exstitisse; & magnitudine animi ac justitia patrem ab illo potuisse superari, si ad virilem ætatem pervenire ei licuisset. Atque hic quidem, cum ejusmodi esset, tali exitu periit. Eugenius autem quidam, haud sincero animo erga religionem Christianorum affectus, Imperium invasit, ejusque insignia sibi assumpsit. Sperabat autem se principatum firmiter retenturum, inductus verbis quorundam hominum, qui se futura nosse jactabant, ex D victimis quibusdam, extorumque inspectione, & observatione siderum. Cui superstitioni addicti erant eo tempore, tum alii plures ex Proceribus Romanorum, tum Flavianus Præfectus Prætorio, vir eximius, & in republica gerenda prudentissimus; & qui insuper omnium divinandi artium peritus, res futuras certissime prænoscere putabatur. Hac enim ratione præcipue Eugenium impulit,